eul_wid: jlu-aa

*Ἀβυδηνὸς ὁ ἱστορικός* · Abydenus the Historian

# On Assyrian and Median History

## *Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-12 ΑΣΣΥΡΙΑΚΑ ΚΑΙ ΜΗΔΙΚΑ. Syncellus: Ἐκ τῶν Ἀβυδηνοῦ Περὶ τῆς τῶν Χαλδαίων βασιλεία ς .

1 Χαλδαίων μὲν τῆς σοφίης πέρι τοσαῦτα. Βασιλεῦσαι δὲ τῆς χώρας πρῶτον λέγεται Ἄλωρον, τὸν δὲ ὑπὲρ ἑωυτοῦ λόγον διαδοῦναι ὅτι μιν τοῦ λεῶ ποιμένα ὁ θεὸς ἀποδείξαι. Βασιλεῦσαι δὲ σάρους δέκα. Σάρος δέ ἐστιν ἑξακόσια καὶ τρισχίλια ἔτεα, νῆρος δὲ ἑξακόσια, σῶσσος δὲ ἑξήκοντα. Μετὰ δὲ τοῦτον Ἀλάπαρον ἄρξαι σάρους τρεῖς, μεθ’ ὃν Ἀμίλλαρος ἐκ πόλεως Παντιβίβλιος ἐβασίλευσε σάρους ιγʹ. Ἐφ’ οὗ δεύτερον Ἀννήδωτον τὴν θάλασσαν ἀναδῦναι παραπλήσιον Ὠάννῃ τὴν ἰδέαν ἡμιδαίμονα. Μεθ’ ὃν Ἀμμένων ἐκ Παντιβίβλων ἦρξε σάρους ιβʹ. Μεθ’ ὃν Μεγάλαρος ἐκ Παντιβίβλων ἦρξε σάρους ὀκτωκαίδεκα· εἶτα Δαὼς ποιμὴν ἐκ Παντιβίβλων ἐβασίλευσε σάρους δέκα, ἐφ’ οὗ δʹ διφυεῖς γῆν ἐκ θαλάσσης ἀνέδυσαν, ὧν τὰ ὀνόματα ταῦτα, Εὐέδωκος, Ἐνεύγαμος, Ἐνεύβουλος, Ἀνήμεντος. Ἐπὶ δὲ τοῦ μετὰ ταῦτα Εὐεδωρέσχου Ἀνώδαφος. Μεθ’ ὃν ἄλλοι τε ἦρξαν καὶ Σίσουθρος ἐπὶ τούτοις, ὡς τοὺς πάντας εἶναι βασιλεῖς δέκα, ὧν ὁ χρόνος τῆς βασιλείας συνῆξε σάρους ἑκατὸν εἴκοσι. Καὶ περὶ τοῦ κατακλυσμοῦ παρόμοια μὲν, οὐκ ἀπαράλλακτα λέγει οὕτως· «Μετὰ Εὐεδώρεσχον ἄλλοι τινὲς ἦρξαν καὶ Σίσιθρος, ᾧ δὴ Κρόνος προσημαίνει μὲν ἔσεσθαι πλῆθος ὄμβρων Δαισίου ιεʹ· κελεύει δὲ πᾶν ὅ τι γραμμάτων ἦν ἐχόμενον ἐν Ἡλιουπόλει τῇ ἐν Σισπόροισιν ἀποκρύψαι. Σίσιθρος δὲ ταῦτα ἐπιτελέα ποιήσας, εὐθέως ἐπ’ Ἀρμενίης ἀνέπλωε· καὶ παραυτίκα μὲν κατελάμβανε τὰ ἐκ τοῦ θεοῦ· τρίτῃ δὲ ἡμερέῃ ἐπεὶ ὕων ἐκόπασε, μετίει τῶν ὀρνίθων, πείρην ποιεύμενος εἴ κου γῆν ἴδοιεν τοῦ ὕδατος ἐκδῦσαν. Αἱ δὲ ἐκδεκομένου σφέας πελάγεος ἀμφιχανέος, ἀπορέουσαι ὅκη καθορμίσονται, παρὰ τὸν Σίσιθρον ὀπίσω κομίζονται· καὶ ἐπ’ αὐτῇσιν ἕτεραι. Ὡς δὲ τῇσι τρίτῃσιν εὐτύχεεν (ἀπίκατο γὰρ δὴ πηλοῦ κατάπλεοι τοὺς ταρσούς), θεοί μιν ἐξ ἀνθρώπων ἀφανίζουσι, τὸ δὲ πλοῖον ἐν Ἀρμενίῃ περίαπτα ξύλων ἀλεξιφάρμακα (καὶ) τοῖσιν ἐπιχωρίοις παρείχετο.»

ΑΒΥΔΗΝΟΥ ΑΒΥΔΗΝΟΥ.

5 Syncell.: Ἐντὶ δ’ οἳ λέγουσι τοὺς πρώτους ἀνασχόντας ῥώμῃ τε καὶ μεγέθει χαυνωθέντας καὶ δὴ θεῶν καταφρονήσαντας ἀμείνονας εἶναι τύρσιν ἠλίβατον ἀείρειν, ᾗ νῦν Βαβυλών ἐστιν· ἤδη τε ἆσσον εἶναι τοῦ οὐρανοῦ, καὶ τοὺς ἀνέμους θεοῖσι βωθέοντας ἀνατρέψαι περὶ αὐτοῖσι τὸ μηχάνημα· τοῦ δὴ τὰ ἐρείπια λέγεσθαι Βαβυλῶνα. Τέως δὲ ὄντας ὁμογλώσσους ἐκ θεῶν πολύθροον φωνὴν ἐνέγκασθαι· μετὰ δὲ Κρόνῳ καὶ Τιτῆνι συστῆναι πόλεμον.

9

E. IX, 41: Εὗρον δὲ καὶ ἐν τῇ Ἀβυδηνοῦ Περὶ Ἀσσυρίων γραφῇ περὶ τοῦ Ναβουχοδονόσορ ταῦτα· «Μεγασθένης δέ φησι Ναβουκοδρόσορον Ἡρακλέος ἀλκιμώτερον γεγονότα ἐπί τε Λιβύην καὶ Ἰβηρίην στρατεῦσαι· ταύτας δὲ χειρωσάμενον, ἀπόδασμον αὐτέων εἰς τὰ δεξιὰ τοῦ Πόντου κατοικῆσαι. Μετὰ δὲ, λέγεται πρὸς Χαλδαίων, ὡς ἀναβὰς ἐπὶ τὰ βασιλήϊα κατασχεθείη θεῷ ὅτεῳ δὴ, φθεγξάμενος δὲ εἶπεν, Οὗτος ἐγὼ Ναβουκοδρόσορος, ὦ Βαβυλώνιοι, τὴν μέλλουσαν ὑμῖν προαγγέλλω συμφορὴν, τὴν ὅ τε Βῆλος ἐμὸς πρόγονος ἥ τε βασίλεια Βῆλτις ἀποστρέψαι Μοίρας πεῖσαι ἀσθενοῦσιν. Ἥξει Πέρσης ἡμίονος, τοῖσιν ὑμετέροισι δαίμοσι χρεώμενος συμμάχοισιν· ἐπάξει δὲ δουλοσύνην. Οὗ δὴ συναίτιος ἔσται Μήδης, τὸ Ἀσσύριον αὔχημα. Ὡς εἴθε μιν, πρόσθεν ἢ δοῦναι τοὺς πολιήτας, Χάρυβδίν τινα ἢ θάλασσαν εἰσδεξαμένην ἀϊστῶσαι πρόρριζον ἤ μιν ἄλλας ὁδοὺς στραφέντα φέρεσθαι διὰ τῆς ἐρήμου, ἵνα οὔτε ἄστεα οὔτε πάτος ἀνθρώπων, θῆρες δὲ νόμον ἔχουσι καὶ ὄρνιθες πλάζονται, ἔν τε πέτρῃσι καὶ χαράδρῃσι μοῦνον ἀλώμενον· ἐμέ τε πρὶν εἰς νόον βαλέσθαι ταῦτα τέλεος ἀμείνονος κυρῆσαι. Ὁ μὲν θεσπίσας παραχρῆμα ἠφάνιστο· ὁ δέ οἱ παῖς Ἀμιλμαρούδοκος ἐβασίλευε. Τὸν δ’ ὁ κηδεστὴς ἀποκτείνας Ἰγλισάρης (i. q. Νηριγλισάρης) λείπει παῖδα Λαβασσοάρασκον. Τούτου δὲ ἀποθανόντος βιαίῳ μόρῳ, Ναβαννίδοχον ἀποδεικνῦσι βασιλέα, προσήκοντά οἱ οὐδέν. Τὸν δὲ Κῦρος ἑλὼν Βαβυλῶνα, Καρμανίης ἡγεμονίῃ δωρέεται.» Καὶ περὶ τοῦ κτίσαι δὲ τὸν Ναβουχοδονόσορ τὴν Βαβυλῶνα, ὁ αὐτὸς ταῦτα γράφει· «Λέγεται δὲ πάντα μὲν ἐξ ἀρχῆς ὕδωρ εἶναι, θάλασσαν καλεομένην. Βῆλον δέ σφεα * παῦσαι, χώρην ἑκάστῳ ἀπονείμαντα, καὶ Βαβυλῶνα τείχει περιβαλεῖν· τῷ χρόνῳ δὲ τῷ ἱκνευμένῳ ἀφανισθῆναι. Τειχίσαι δὲ αὖθις Ναβουχοδονόσορον τὸ μέχρι τῆς Μακεδονίων ἀρχῆς διαμεῖναν ἐὸν χαλκόπυλον.» Καὶ μεθ’ ἕτερα ἐπιλέγει· «Ναβουχοδονόσορος δὲ διαδεξάμενος τὴν ἀρχὴν, Βαβυλῶνα μὲν ἐτείχισε τριπλῷ περιβόλῳ ἐν πεντεκαίδεκα ἡμέρῃσι, τόν τε Ἀρμακάλην ποταμὸν ἐξήγαγεν, ἐόντα κέρας Εὐφρήτεω, τόν τε Ἀκράκανον. Ὑπὲρ δὲ τῆς Σιππαρηνῶν πόλιος λάκκον ὀρυξάμενος, περίμετρον μὲν τεσσαράκοντα παρασαγγέων, βάθος δ’ ὀργυιέων εἴκοσι, πύλας ἐπέστησεν, τὰς ἀνοίγοντες ἄρδεσκον τὸ πεδίον· καλέουσι δ’ αὐτὰς ἐχετογνώμονας. Ἐπετείχισε δὲ καὶ τῆς Ἐρυθρῆς θαλάσσης τὴν ἐπίκλυσιν καὶ Τερηδόνα πόλιν ἔκτισεν κατὰ τὰς Ἀράβων εἰσβολάς· τά τε βασιλήια δένδροις ἤσκησε, κρεμαστοὺς παραδείσους ὀνομάσας. » —Καὶ ταῦτα δέ μοι ἀπὸ τῆς δηλωθείσης κείσθω γραφῆς.

10a Μετὰ τοῦτον (sc. τὸν Ναβουχοδονόσωρ) υἱὸς αὐτοῦ Εὐειλὰδ Μαροδὰχ λεγόμενος ἔτη δύο μετὰ θάνατον τοῦ πατρὸς ἐβασίλευσεν, ὡς μαρτυροῦσιν οἱ τὰ Χαλδαϊκὰ συγγραψάμενοι Ἀλέξανδρος καὶ Ἀβυδηνὸς, οἷς καὶ Ἰώσηπος καὶ πάντες ἐν τούτοις ἕπονται, συμφωνούσης καὶ τῆς θείας γραφῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org